# ΣΥΜΠΟΣΙΑΚΩΝ E

## ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ

**1.** *Σιμωνίδης ὁ ποιητής, ὦ Σόσσιε Σενεκίων, ἔν τινι πότῳ ξένον ἰδὼν κατακείμενον σιωπῇ καὶ μηδενὶ δια-* F *λεγόμενον, ʽὦ ἄνθρωπ'ʼ εἶπεν, ʽεἰ μὲν ἠλίθιος εἶ, σοφὸν πρᾶγμα ποιεῖς· εἰ δὲ σοφός, ἠλίθιον.ʼ ʽἀμαθίην γὰρ ἄμεινονʼ ὥς φησιν Ἡράκλειτος* (fr. 95) *ʽκρύπτεινʼ, ἔργον δ' ἐν ἀνέσει καὶ παρ' οἶνον* | (ξ 464)

*ʽὅστ' ἐφέηκε πολύφρονά περ μάλ' ἀεῖσαι,* **645**
*καί θ' ἁπαλὸν γελάσαι καί τ' ὀρχήσασθαι ἀνῆκεν,*
*καί τι ἔπος προέηκεν, ὅπερ τ' ἄρρητον ἄμεινον·ʼ*

*οἰνώσεως ἐνταῦθα τοῦ ποιητοῦ καὶ μέθης, ὡς ἐμοὶ δοκεῖ, διαφορὰν ὑποδεικνύντος. ᾠδὴ μὲν γὰρ καὶ γέλως καὶ ὄρχησις οἰνουμένοις μετρίως ἔπεισι· τὸ δὲ λαλεῖν καὶ λέγειν, ἃ βέλτιον ἦν σιωπᾶν, παροινίας ἤδη καὶ μέθης ἔργον ἐστίν. διὸ καὶ Πλάτων* (Legg. 650 a) *ἐν οἴνῳ μάλιστα καθορᾶσθαι τὰ ἤθη τῶν πολλῶν νομίζει, καὶ Ὅμηρος εἰπὼν* (φ 35) *ʽοὐδὲ τραπέζῃ γνώτην ἀλλήλωνʼ δῆλός ἐστιν εἰδὼς τὸ ⟨πολύφω⟩νον τοῦ οἴνου καὶ ⟨λόγων⟩ πολλῶν γόνιμον. οὐ γὰρ ἔστι τρωγόντων σιωπῇ καὶ πινόντων* B *γνῶσις· ἀλλ' ὅτι τὸ πίνειν εἰς τὸ λαλεῖν προάγεται, τῷ δὲ*